*λέγειν; οὐ χρησόμεθα τούτοις ὡς ἄριστα καὶ κάλλιστα πεποιημένοις, ἐπανορθούμενοι τὴν αὑτῶν κρίσιν προκατειλημμένην ὑπὸ φαύλης συνηθείας;’*

E *‘Ὑπολαβὼν οὖν Βόηθος ὁ γεωμέτρης (οἶσθα γὰρ τὸν ἄνδρα μεταταττόμενον ἤδη πρὸς τὸν Ἐπίκουρον), ‘ἆρ’ οὖν’ ἔφη ‘τὸ τοῦ ζωγράφου Παύσωνος ἀκήκοας;’ ‘οὐκ ἔγωγε’ εἶπεν ὁ Σαραπίων. ‘ἀλλὰ μὴν ἄξιον. ἐκλαβὼν γὰρ ὡς ἔοικεν ἵππον ἀλινδούμενον γράψαι τρέχοντα ἔγραψεν· ἀγανακτοῦντος δὲ τοῦ ἀνθρώπου γελάσας ὁ Παύσων κατέστρεψε τὸν πίνακα, καὶ γενομένων ἄνω τῶν κάτω πάλιν ὁ ἵππος οὐ τρέχων ἀλλ’ ἀλινδούμενος ἐφαίνετο. τοῦτό φησιν ὁ Βίων ἐνίους τῶν λόγων πάσχειν, ὅταν ἀναστραφῶσι. διὸ καὶ τοὺς χρησμοὺς ἔνιοι φήσουσιν οὐ καλῶς ἔχειν, ὅτι τοῦ θεοῦ εἰσιν, ἀλλὰ τοῦ θεοῦ μὴ εἶναι, ὅτι φαύλως ἔχου-*
F *σιν. ἐκεῖνο μὲν γὰρ ἐν ἀδήλῳ· τὸ δ’ ⟨οὐκ εὖ τὰ ἔπη⟩ πεποιῆσθαι τὰ περὶ τοὺς χρησμοὺς καὶ σοὶ κριτῇ δήπουθεν, ὦ φίλε Σαραπίων’, εἶπεν, ‘ἐναργές ἐστι. ποιήματα [μὲν] γὰρ γράφεις τοῖς μὲν πράγμασι φιλοσόφως καὶ αὐστηρῶς, δυνάμει δὲ καὶ χάριτι καὶ κατασκευῇ ⟨τῇ⟩ περὶ λέξιν ἐοικότα τοῖς Ὁμήρου καὶ Ἡσιόδου μᾶλλον ἢ τοῖς ὑπὸ τῆς Πυθίας ἐκφερομένοις.’*

**6.** *Καὶ ὁ Σαραπίων ‘νοσοῦμεν γάρ’ εἶπεν ‘ὦ Βόηθε, καὶ τὰ ὦτα καὶ τὰ ὄμματα, συνειθισμένοι διὰ τρυφὴν καὶ*
**397** *μαλακίαν τὰ ἡδίω καλὰ νομίζειν καὶ ἀποφαίνεσθαι. | τάχα δὴ μεμψόμεθα τὴν Πυθίαν, ὅτι Γλαύκης οὐ φθέγγεται τῆς κιθαρῳδοῦ λιγυρώτερον οὐδὲ χριομένη μύροις οὐδ’ ἁλουργίδας ἀμπεχομένη κάτεισιν εἰς τὸ ⟨χρηστήριον⟩*